UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Vrsenuphio. 85

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τοῦ σώματος ἀκεραιότητα τοῖς ὑγιαίνουσιν ἐκ τοιούτων παθῶν εἰσφρήσας τὴν ἑαυτοῦ ἀλγηδόνα.

imitans, corporis integritatem & incolumitatem depascatur; suo videlicet dolore, iis, qui ab huiusmodi vitiis sani sunt, impacto.

Τῷ αὐτῷ. πδ.

Οὐκ ἔστιν, ὦ φίλη κεφαλὴ ἐν παραβύστῳ καὶ ἀποκρύφῳ κείμενος, ὁ τοῦ κυρίου νόμος, Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, κελεύοντος· ἀλλὰ λευκὸς καὶ σαφέστατος, καὶ τοῖς προσόχοις ἀρίδηλος· ἐπειδὴ γὰρ τῷ εὖ ποιεῖν κενοδοξία παρέπεται καὶ ἐπίδειξις, μηδὲν, φησὶ, καλὸν γινέσθω παρὰ σοῦ ἐμπαθῶς, μηδὲ πέρπερος λογισμὸς ἀκολουθείτω τῷ κατορθώματι. ἀλλ' εἰ εὖ ποιεῖς, ἀνεπίδεικτος ἔσο καὶ ἄκομπος, τοὺς ἐνταῦθα κρότους μὴ θηρῶν, ἀλλὰ τοὺς μέλλοντας στεφάνους προσδοκῶν.

*Eidem.* 84.

Non est, ô charum mihi caput, hæc Domini lex in occulto ac latebris sita, quæ hoc iubet: Nesciat sinistra manus quid faciat dextra tua: verùm aperta & dilucida; iisque, qui attento animo sunt, perspicua. *Matt. 6.* Quoniam enim probarum actionum inanis gloria & ostentatio comes esse solet, idcircò nullum, inquit, bonum abs te cum vitiosa animi affectione fiat, nec improba & præpostera cogitatio præclarum & cum virtute coniunctum facinus comitetur: quin potiùs si quid boni facis, ab omni ostentatione ac iactatione alienus sis, præsentes scilicet plausus minimè captans, verùm futuras coronas expectans.

*Inanis gloria in bonis actionibus cauenda.*

Ουρσενουφίῳ. πε.

Ἡ τοῦ κυρίου διδαχὴ ἐν τῇ προσευχῇ μετὰ πάντων τῶν ἄλλων θεοπρεπῶν διδαγμάτων, καὶ γεννηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, κελεύει προσεύχεσθαι τὴν τῶν ἄνω δυνάμεων εἰρήνην, τὴν ἀστασίαστον φάσκουσα, ἣν καὶ ἡμῖν βραβεῦσαι τοῖς ἐπὶ γῆς καταξίωσον. ἵν' ὥσπερ ἐν αὐταῖς πάντα κατορθοῦται τὰ θελήματα, οὕτως καὶ ἐν ἡμῖν τὰ σοὶ εὐάρεστα γένηται. ταῦτα τοίνυν καὶ πρώην εἰδὼς, καὶ νῦν μαθὼν παρ' ἐμοῦ ἐπιλαβοῦ, καὶ ἔχου ἀπρὶξ τῆς εἰρήνης. οὐράνιος γάρ ἐστι καὶ θεῷ πλησιάζουσα.

ὡς θεῷ πλησιαζούσης.

*Vrsenuphio.* 85.

Domini doctrina in oratione, qua præter alia omnia diuina maiestate digna documenta, hoc petitur, Fiat voluntas tua sicut in cęlo & in terra, precibus hoc à Deo contendere docet, virtutum cęlestium pacem, quæ dissidij omnis expers est, nobis quoque, qui in terra versamur, impertire digneris: vt quemadmodum in ipsis volũtates omnes tuæ perficiuntur; ita etiam in nobis, quæ tibi grata sunt, fiant. Hæc igitur, & cùm priùs perspecta habueris, & nunc ex me intellexeris, pacem arripe, ac mordicus eam retine. Cœlestis enim est, ac Deo vicina. *Math. 6.*

Ὠφελίῳ γραμματικῷ. πς.

Σπέρματος γένος, καὶ αἵματος κόμπος, ὦ ἄριστε τῶν ποιητῶν, οὐκ ἔστιν ἀρετὴ, ἀλλ' ἀκούσιός τις διαδοχὴ ἐκ σωμάτων καταγομένη καὶ ῥέουσα. ἀρετὴ δὲ, φρόνησίς ἐστι, δικαιοσύνη τε, καὶ ἀνδρεία, καὶ σωφροσύνη. ὃς ἂν οὖν ἔχηται τούτων, καὶ πάγκαλός ἐστι,

*Ophelio Grammatico.* 86.

Seminis genus, & sanguinis fastus atque iactantia, Poëtarum præstantissime, virtus non est, verùm haud voluntaria quædam successio è corporibus descendens, ac fluxa & caduca. At verò virtus in prudentia, iustitia, fortitudine, ac temperãtia sita est. Quisquis igitur hæc complexus fuerit, & pulcherrimus, & cõspicuus est, atque eius-

*Virtus in quo sita.*